30 Ιουλίου 2017

# Παρακλητικός Κανών στην αγ. Μεγαλομάρτυρα Ξενία την εκ Καλαμών

/ Πεμπτουσία

Image not found or type unknown



Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε, εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὴν Καλλιπάρθενον Χριστοῦ Ἀθληφόρον, καὶ Καλαμῶν τὴν πολιοῦχον Ξενίαν, ᾀσματικῶς τιμήσωμεν βοῶντες αὐτῇ. Λύτρωσαι πρὸς σὲ τοὺς τρέχοντας, πειρασμῶν τε καὶ θλίψεων, λῦσον μαγειῶν κλοιόν, καθ' ἡμῶν κακοβούλων· παρὰ Θεοῦ γὰρ ἔσχες τὴν ἰσχὺν καὶ πάσης ῥῦσαι ἀνάγκης πρεσβείαις σου.

**Δόξα. Ὅμοιον, ἢ τῆς τυχούσης ἑορτῆς.**

Τῶν ἰαμάτων τὴν πηγὴν σὲ Ξενία, ἐπικαλοῦμαι ὁ οἰκτρός σου οἰκέτης, μετὰ Θεὸν προσφεύγων νῦν τῇ σκέπῃ τῇ σῇ, καὶ βοῶ· Ἀπάλλαξον, τῶν δεινῶν με προφθάσασα, πονηρῶν πνευμάτων τε, σαῖς λιταῖς ἐκ τῆς βλάβης ἐξ ἀνιάτων λύτρωσαι παθῶν, καὶ νοσημάτων παντοίων καὶ θλίψεων.

**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν' Ψαλμὸς καὶ ὁ Κανών,**

οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις «Γεωργίου».

**Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.**

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν ὕμνοις καὶ ᾄσμασιν οἱ πιστοί, δεῦτε συνελθόντες εὐφημήσωμεν εὐλαβῶς, Ξενίαν Χριστοῦ τὴν Ἀθληφόρον, ὑπὲρ ἡμῶν ἀενάως πρεσβεύουσαν.

Τυράννους ἐξέπληξας τῇ στερρᾷ, ἐνδόξῳ ἐνστάσει καὶ κατηύφρανας στρατιάν, Μάρτυς τῶν Ἀγγέλων, μεθ' ὧν ἤδη, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα ἱκέτευε.

Τὴν χάριν ὡς ἔχουσα πρὸς Θεοῦ, πᾶσαν ἀφανίζειν μαγγανείαν τῶν φθονερῶν, ἐκ ταύτης τοὺς πόθῳ σοι δραμόντας καὶ τὰ παιδία φύλαξον, Ξενία Μάρτυς, πρεσβείαις σου.



[Για την ακολουθία πατήστε εδώ]

[Για την ασματική ακολουθία πατήστε εδώ]